# Griekse fragmenten Batrachomyomachia:

(vers 1-23)

Ἀρχόμενος πρώτης σελίδος χορὸν ἐξ Ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,
δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος,
εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι
πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα Γιγάντων,
ὡς λόγος ἐν θνητοῖσιν ἔην. Τοίην δ' ἔχεν ἀρχήν·

Μῦς ποτε διψαλέος γαλέης κίνδυνον ἀλύξας
πλησίον ἐν λίμνῃ λίχνον παρέθηκε γένειον,
ὕδατι τερπόμενος μελιηδέϊ· τὸν δὲ κατεῖδε
λιμνόχαρις πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον·
«Ξεῖνε, τίς εἶ; Πόδεν ἦλθες ἐπ' ἠϊόνας; Τίς ὁ φυσάς;
Πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
Εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω·
δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ καὶ ἐσθλά.
Εἰμὶ δ' ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
τιμῶμαι βατράχων ἡγούμενος ἤματα πάντα·
καί με πατὴρ Πηλεὺς ἀνεδρέψατο, Ὑδρομεδούσῃ
μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας Ἠριδανοῖο.
Καὶ σὲ βλέπω καλόν τε καὶ ἄλκιμον ἔξοχον ἄλλων,
σκηπτοῦχον βασιλῆα καὶ ἐν πολέμοισιν μαχητὴν
ἔμμεναι· ἀλλ' ἄγε θᾶσσον ἐὴν γενεὴν ἀγόρευε.»

(vers 197-246)

῟Ως ἄρ' ἔφη, καὶ τῆι γε θεοὶ ἐπεπείθοντ' ἄλλοι,
πάντες δ' αὖτ' εἰσῆλθον ἀολλέες εἰς ἕνα χῶρον.
Καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες
δεινὸν ἐσάλπιγξαν πολέμου κτύπον˙ οὐρανώθεν δὲ
Ζεὺς Κρονίδης βρόντησε, τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' Ὑψιβόας Λειχήνορα οὔτασε δουρὶ
ἑσταότ' ἐν προμάχοις κατὰ γαστέρα ἐς μέσον ἧπαρ˙
κὰδ δ' ἔπεσεν πρηνής, ἁπαλὰς δ' ἐκόνισεν ἐθείρας.
Τρωγλίτης δὲ μετ' αὐτὸν ἀκόντισε Πηλεΐωνα,
πῆξεν δ' ἐν στέρνωι στιβαρὸν δόρυ˙ τὸν δὲ πεσόντα
εἷλε μέλας θάνατος, ψυχὴ δ' ἐκ σώματος ἔπτη.
Σευτλαῖος δ' ἄρ ἔπεφνε βαλὼν κέαρ Ἐμβασίχυτρον,
Τυροφάγον δ' αὐτῇσιν ἐπ' ὄχθαις ἐξενάριξεν.
(...)
Πτερνογλύφον δ' ἐσιδὼν Καλαμίνθιος ἐς φόβον ἦλθεν,
ἥλατο δ' ἐς λίμνην, φεύγων τὴν ἀσπίδα ῥίψας.
Λιτραῖον δ' ἀρ' ἔπεφνεν ἀμύμων Βορβοροκοίτης,
χερμαδίωι πλήξας κατὰ βρέχματος˙ ἐγκέφαλος δὲ
ἐκ ῥινῶν ἔσταξε. Παλάσσετο δ' αἵματι γαῖα.
Λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα Βορβοροκοίτην,
ἔγχει ἐπαΐξας˙ τοῦ δὲ σκότος ὄσσε κάλυψεν.
Πρασσαῖος δ' ἐσιδὼν ποδὸς εἵλκυσε νεκρώσαντα,
ἐν λίμνηι δ' ἀπέπνιξε κρατήσας χειρὶ τένοντα.
Ψιχάρπαξ δ' ἤμυν' ἑτάρου περὶ τεθνειώτος
καὶ βάλε Πρασσαῖον κατὰ νηδύος ἐς μέσον ἧπαρ,
πῖπτε δὲ οἱ πρόσθεν, ψυχὴ δ' Ἄϊδόσδε βεβήκει.
Κραμβοβάτης δ' ἐσιδὼν πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτόν,
καὶ τὸ μέτωπον ἔχρισε καὶ ἐξετύφλου παρὰ μικρόν.

Ὠργίσθη δ' ἄρ' ἐκεῖνος, ἑλὼν δ' ἄρα χειρὶ παχείηι
κείμενον ἐν δαπέδωι λίθον ὄβριμον, ἄχθος ἀρούρης,
τῶι βάλε Κραμβοβάτην ὑπὸ γούνατα˙ πᾶσα δ' ἐκλάσθη
κνήμη δεξιτερή, πέσε δ' ὕπτιος ἐν κονίηισι.
Κραυγασίδης δ' ἤμυνε καὶ αὖθις βαῖνεν ἐπ' αὐτόν,
τύψε δὲ οἱ μέσσην κατὰ γαστέρα˙ πᾶς δὲ οἱ εἴσω
ὀξύσχοινος ἔδυνε, χαμαὶ δ' ἔκχυντο ἅπαντα
ἔγκατ' ἐφελκομένωι ὑπὸ δούρατι χειρὶ παχείῃ.
Τρωξάρτης δ' ἔβαλεν Φυσίγναθον ἐς ποδὸς ἄκρον -
ἔσχατος δ' ἐκ λίμνης ἀνεδύσετο - τείρετο δ' αἰνῶς.

(vers 294-303)

Ἦλθον δ’ἐξαίφνης νωτάκνομες, ἀγκυλοχεῖλαι,
λοξοβάται, στρεβλοί, ψαλιδόστομοι, ὀστρακόδερμοι,
ὀστοφυεῖς, πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοίς,
βλαισοί, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
ὀκτάποδες, δικάρηνοι, ἀτειρέες, οἱ δὲ καλεῦνται
καρκίνοι, οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον
ἠδὲ πόδας καὶ χεῖρας· ἀνεγνάμπτοντο δὲ λόγχαι.
τοὺς καὶ ὑπέδεισαν δειλοὶ μύες οὐδ' ἔτ' ἔμειναν,
ἐς δὲ φυγὴν ἐτράποντο· ἐδύετο δ' ἥλιος ἤδη,
καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.